## Κεφάλαιον γ.

Ἔστι δὲ τέτταρα σχεδὸν ἃ παιδεύειν εἰώθασι, γράμματα, καὶ γυμναστικὴν, καὶ μουσικὴν· καὶ τέταρτον ἔνιοι γραφικήν· τὴν μὲν γραμματικὴν καὶ γραφικὴν, ὡς χρησίμους πρὸς τὸν βίον οὔσας καὶ πολυχρήστους· τὴν δὲ γυμναστικὴν, ὡς συντείνουσαν πρὸς ἀνδρίαν· τὴν δὲ μουσικὴν ἤδη διαπορήσειεν ἄν τις. νῦν μὲν γὰρ ὡς ἡδονῆς χάριν οἱ πλεῖστοι μετέχουσιν αὐτῆς· οἱ δ' ἐξ ἀρχῆς ἔταξαν ἐν παιδείᾳ, διὰ τὸ τὴν φύσιν αὐτὴν ζητεῖν, ὅπερ πολλάκις εἴρηται, μὴ μόνον ἀσχολεῖν ὀρθῶς, ἀλλὰ καὶ σχολάζειν δύνασθαι καλῶς. αὕτη γὰρ ἀρχὴ πάντων, ἵνα καὶ πάλιν εἴπωμεν περὶ αὐτῆς. εἰ γὰρ ἄμφω μὲν δεῖ, μᾶλλον δὲ αἱρετὸν τὸ σχολάζειν τῆς ἀσχολίας, καὶ ὅλως ζητητέον τί ποιοῦντας δεῖ σχολάζειν. οὐ γὰρ δὴ παίζοντας· τέλος γὰρ ἀναγκαῖον εἶναι τοῦ βίου τὴν παιδιὰν ἡμῖν. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ μᾶλλον ἐν ταῖς ἀσχολίαις χρηστέον ταῖς παιδιαῖς. ὁ γὰρ πονῶν, δεῖται τῆς ἀναπαύσεως· ἡ δὲ παιδιὰ, χάριν ἀναπαύσεώς ἐστι· τὸ δ' ἀσχολεῖν συμβαίνει μετὰ πόνου καὶ συντονίας. διὰ τοῦτο δεῖ παιδιὰς εἰσάγεσθαι, καιροφυλακτοῦντας τὴν χρῆσιν, ὡς προσάγοντας φαρμακείας χάριν· ἄνεσις γὰρ ἡ τοιαύτη κίνησις τῆς ψυχῆς, καὶ διὰ τὴν ἡδονὴν ἀνάπαυσις. τὸ δὲ σχολάζειν ἔχειν αὐτὸ δοκεῖ τὴν ἡδονὴν, καὶ τὴν εὐδαιμονίαν, καὶ τὸ ζῆν μακαρίως. τοῦτο δ' οὐ τοῖς ἀσχολοῦσιν ὑπάρχει, ἀλλὰ τοῖς σχολάζουσιν. ὁ μὲν γὰρ ἀσχολῶν, ἕνεκά τινος ἀσχολεῖ τέλους, ὡς οὐχ ὑπάρχοντος· ἡ δ' εὐδαιμονία, τέλος ἐστὶν, ἣν οὐ μετὰ λύπης, ἀλλὰ μεθ' ἡδονῆς οἴονται πάντες εἶναι. ταύτην μέντοι τὴν ἡδονὴν οὐκέτι τὴν αὐτὴν τιθέασιν, ἀλλὰ καθ' ἑαυτοὺς ἕκαστος, καὶ τὴν ἕξιν τὴν αὐτῶν· ὁ δὲ ἄριστος, τὴν ἀρίστην, καὶ τὴν ἀπὸ τῶν καλλίστων. ὥστε φανερὸν ὅτι δεῖ καὶ πρὸς τὴν ἐν τῇ διαγωγῇ σχολὴν, μανθάνειν ἄττα καὶ παιδεύεσθαι· καὶ ταῦτα μὲν τὰ παιδεύματα, καὶ ταύτας τὰς μαθήσεις ἑαυτῶν εἶναι χάριν· τὰς δὲ πρὸς τὴν ἀσχολίαν, ὡς ἀναγκαίας καὶ χάριν ἄλλων. διὸ καὶ τὴν μουσικὴν οἱ πρότερον εἰς παιδείαν ἔταξαν, οὐχ ὡς ἀναγκαῖον· οὐδὲν γὰρ ἔχει τοιοῦτον· οὐδ' ὡς χρήσιμον, ὥσπερ τὰ γράμματα πρὸς χρηματισμὸν, καὶ πρὸς οἰκονομίαν, καὶ πρὸς μάθησιν, καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· δοκεῖ δὲ καὶ γραφικὴ χρήσιμος εἶναι πρὸς τὸ κρίνειν τὰ τῶν τεχνιτῶν ἔργα κάλλιον· οὐδ' αὖ καθάπερ ἡ γυμναστικὴ πρὸς ὑγίειαν καὶ ἀλκήν· οὐδέτερον γὰρ τούτων ὁρῶμεν γιγνόμενον

## CAPVT III.

SVnt autem ferè quatuor, quas discere iuuenes consueuerunt, litteras, gymnasticam, musicam. addunt verò & quartum quidam, figurandi peritiam. Litteras quidem & figurationem, tanquam vtiles & valde expedientes ad vitam: gymnasticam verò tanquam pertinentem ad fortitudinem. De Musica verò iam ambigitur, nam nunc quidem plurimi voluptatis gratia illam addiscunt: veteres autem inter disciplinas eam collocauerunt, ex eo quòd natura quærit (vt sæpe dictum est) non solum in negotio rectè, verum etiam in otio laudabiliter posse versari. hoc enim principium est omnium, vt rursus de illo dicamus. si enim vtroque opus est, magis autem expetendum est otium quàm negotium, nec id quidem in ioco: nam sic necesse foret iocum esse finem vitæ, quòd si sit impossibile, & magis in negotiis vtendum est ioco. nam qui laborant, indigent relaxatione: & huius gratia est iocus, negotia verò sunt cum labore & conatu: & propterea oportet iocum adhibere, qui tanquam medicinam eo tempore afferat, nam relaxatio est huiusmodi motus animi, & requies per voluptatem. Otium autem ipsum videtur in se voluptatem habere, & fœlicitatem & vitam beatam, & hoc non negotiosis, sed otiosis existit, nam qui negotiatur, alicuius gratia negotiatur, quod sibi desit, fœlicitas autem finis est, quam non cum dolore, sed cum voluptate esse omnes putant. Hanc tamen voluptatem non eandem omnes posuerunt, sed secundum sit vnusquisque, & secundũ suum habitum: optimus tamen optimam, & eam quæ sit ab honestissimis. Itaque manifestũ est, quòd oporteat ad otium quoque degendum addiscere quædam, & erudiri: & hac eruditiones hac disciplinas sui ipsarum esse gratia: illas verò quæ ad negotiũ, tanquàm necessarias & gratia illorum. Quapropter Musicam antiqui inter disciplinas collocauere: non tanquam rem necessariam, nihil enim habet tale: neq. tanquam vtilem, vt literæ ad lucrum, & ad rem familiarem, & ad studia, & ad ciuiles actiones complurimas. Videtur quoque figurãdi peritia vtilis esse ad iudicandũ melius artificum opera, neque vt gymnastica ad sanitatem & robur: nihil enim horum